*εἰ δέ μοι οὐκ ἐπέοικε τεὴν ἱέρειαν ἀφάσσειν,*
*τοίην μοι, Κυθέρεια, νέην παράκοιτιν ὀπάσσοις.'*
*τοῖα μὲν ἠιθέων τις ἐφώνεεν· ἄλλοθεν ἄλλος*
*ἕλκος ὑποκλέπτων ἐπεμήνατο κάλλεϊ κούρης.*
*αἰνοπαθὲς Λείανδρε, σὺ δ' ὡς ἴδες εὐκλέα κούρην,*
*οὐκ ἔθελες κρυφίοισι κατατρύχειν φρένα κέντροις,*
*ἀλλὰ πυριβλήτοισι δαμεὶς ἀδόκητον ὀιστοῖς*
*οὐκ ἔθελες ζώειν περικαλλέος ἄμμορος Ἡροῦς·*
*σὺν βλεφάρων δ' ἀκτῖσιν ἀέξετο πυρσὸς ἐρώτων,*
*καὶ κραδίη πάφλαζεν ἀνικήτου πυρὸς ὁρμῇ.*
*κάλλος γὰρ περίπυστον ἀμωμήτοιο γυναικὸς*
*ὀξύτερον μερόπεσσι πέλει πτερόεντος ὀιστοῦ·*
*ὀφθαλμὸς δ' ὁδός ἐστιν· ἀπ' ὀφθαλμοῖο βολάων*
*κάλλος ὀλισθαίνει καὶ ἐπὶ φρένας ἀνδρὸς ὁδεύει.*
*εἷλε δέ μιν τότε θάμβος, ἀναιδείη, τρόμος, αἰδώς·*
*ἔτρεμε μὲν κραδίη, αἰδὼς δέ μιν εἶχεν ἁλῶναι,*
*θάμβεε δ' εἶδος ἄριστον, ἔρως δ' ἀπενόσφισεν αἰδῶ·*
*θαρσαλέως δ' ὑπ' ἔρωτος ἀναιδείην ἀγαπάζων,*
*ἠρέμα ποσσὶν ἔβαινε καὶ ἀντίον ἵστατο κούρης.*
*λοξὰ δ' ὀπιπεύων δολερὰς ἐλέλιξεν ὀπωπάς,*
*νεύμασιν ἀφθόγγοισι παραπλάζων φρένα κούρης.*
*αὐτὴ δ', ὡς συνέηκε πόθον δολόεντα Λεάνδρου,*
*χαῖρεν ἐπ' ἀγλαΐῃσιν· ἐν ἡσυχίῃ δὲ καὶ αὐτὴ*